eul_wid: foq-aa

*Ἄμφις ὁ Κωμικός* · Amphis Comicus

# Fragments on Courtesans and Life

*Ἀποσπάσματα περὶ Ἑταιρῶν καὶ Βίου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 εἶτ' οὐ γυναικός ἐστιν εὐνοϊκώτερον γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως. ἡ μὲν νόμῳ γὰρ καταφρονοῦς' ἔνδον μένει, ἡ δ' οἶδεν ὅτι ἢ τοῖς

book 1.2 τρόποις ὠνητέος[ln_5]ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον.

book 2 περιθέτην

book 3.1 οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης

book 3.2 παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης· ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς αὑτὸν λέληθε

book 3.3 παραπλέων τὰς

book 3.4 συμφοράς.

book 4.1 ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα

book 4.2 τούτοις

book 4.3 πλησιάζων ἥδεται.

book 5.1 μικρόν

book 5.2 τι κέρμα

book 6.1 [spk_β]τὸ δ' ἀγαθὸν ὅ τι

book 6.2 ποτ' ἐστίν, οὗ σὺ τυγχάνειν μέλλεις διὰ ταύτην, ἧττον οἶδα

book 6.3 τοῦτ' ἐγώ, ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν. Β. πρόσεχε δή.

book 7 ἀνεβόης' ὕδωρ ἐνεγκεῖν θερμόν, ἄλλος μετάκερας.

book 8.1 πῖνε, παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὑπὶ γῇ χρόνος· ἀθάνατος ὁ θάνατός ἐστιν, ἂν ἅπαξ

book 8.2 τις ἀποθάνῃ.

book 9.1 [spk_β]ἤδη

book 9.2 ποτ' ἤκουσας βίον ἀληλεμένον; Β. ναί· τοῦτ' ἐκεῖν' ἐστὶν

book 9.3 σαφῶς· ἄμητες, οἶνος ἡδύς, ᾠά, σησαμαῖ, μύρον, στέφανος, αὐλητρίς. Α. ὦ Διοσκόρω, [ln_5]ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας.

book 10 Εὐρύβατε κνισολοιχέ, οὐκ ἔσθ' ὅπως οὐκ ὀλβιογάστωρ εἶ σύ.

book 11 εὐκυβεῖν

book 12 κατ’ ἀγρόν

book 13.1 ὦ Πλάτων, ὡς οὐδὲν οἶσθα

book 13.2 πλὴν

book 13.3 σκυθρωπάζειν μόνον, ὥσπερ κοχλίας

book 13.4 σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

book 14.1 [spk_β]ἐγὼ δὲ τὸν γίγγραν γε τὸν

book 14.2 σοφώτατον. Β. τίς δ’ ἔσθ’ ὁ γίγγρας; Α. καινὸν ἐξεύρημά τι ἡμέτερον, ὃ θεάτρῳ μὲν οὐδεπώποτε ἔδειξ’, Ἀθήνησιν δὲ κατακεχρημένον[ln_5]ἐν

book 14.3 συμποσίοις ἰδίᾳ ’στί. Β. διὰ τί δ’ οὐκ ἄγεις εἰς τὸν ὄχλον αὐτόν; Α. διότι

book 14.4 φυλὴν

book 14.5 περιμένω

book 14.6 σφόδρα

book 14.7 φιλονεικοῦσαν λαχεῖν

book 14.8 τιν’· οἶδα γὰρ ὅτι πάντα

book 14.9 πράγματ’ ἀνατριαινώσω κρότοις.

book 15.1 τί φής; σὺ ταυτὶ προσδοκᾷς

book 15.2 πείσειν ἐμέ, ὡς ἔστ’ ἐραστής, ὅστις ὡραῖον

book 15.3 φιλῶν

book 15.4 τρόπων ἐραστής ἐστι, τὴν ὄψιν

book 15.5 παρείς; ἄφρων γ’ ἀληθῶς. οὔτε

book 15.6 τοῦτο

book 15.7 πείθομαι,[ln_5]οὔθ’ ὡς πένης ἄνθρωπος ἐνοχλῶν

book 15.8 πολλάκις

book 15.9 τοῖς εὐποροῦσιν οὐ λαβεῖν

book 15.10 τι βούλεται.

book 16 γλαῦκοι δ’ ὅλοι, ῥαχιστὰ κρανίων μέρη εὔσαρκα

book 17.1 εἶτ’ οὐχὶ χρυσοῦν ἐστι

book 17.2 πρᾶγμ’ ἐρημία; ὁ πατήρ γε

book 17.3 τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός, πενίαν

book 17.4 τε συγκρύπτειν ἐπίσταται μόνος, ἄστυ δὲ θέατρον ἀτυχίας

book 17.5 σαφοῦς γέμον.

book 18.1 ὁ παῖς

book 18.2 σοβείτω

book 18.3 τοῖς

book 18.4 ποτηρίοις

book 18.5 συχνοῖς.

book 19 νεανισκεύεται

book 20.1 ἐν

book 20.2

ταῖς θριδακίναις

book 20.3 ταῖς κάκιστ’ ἀπολουμέναις, ἃς εἰ φάγοι

book 20.4 τις ἐντὸς ἑξήκοντ’ ἐτῶν, ὁπότε γυναικὸς λαμβάνοι κοινωνίαν, στρέφοιθ’ ὅλην τὴν νύκτα, μηδὲ ἓν

book 20.5 πλέον[ln_5]ὧν βούλεται δρῶν, ἀντὶ τῆς ὑπουργίας τῇ χειρὶ τρίβων τὴν ἀναγκαίαν τύχην.

book 21.1 ὅστις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ ζητεῖ τι

book 21.2 τερπνὸν

book 21.3 προσφέρειν, τὰ δ’ ἄλλ’ ἐᾷ, μάταιός ἐστιν ἔν γ’ ἐμοὶ καὶ τοῖς

book 21.4 σοφοῖς κριταῖς ἅπασιν ἐκ θεῶν

book 21.5 τε δυστυχής.

book 22.1 ὅστις κορακῖνον ἐσθίει θαλάττιον γλαύκου

book 22.2 παρόντος, οὗτος οὐκ ἔχει

book 22.3 φρένας.

book 23.1 τυφλὸς ὁ Πλοῦτος εἶναί μοι δοκεῖ, ὅστις γε

book 23.2 παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται, παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ ἑτέραις

book 23.3 τε τοιαύταισι

book 23.4 παγίσι

book 23.5 τοῦ βίου[ln_5]ἔνδον κάθητ’ ἀπόπληκτος οὐδ’ ἐξέρχεται.

book 25.1 τὸν

book 25.2 σκιραφευτήν

book 26 ὅστις ἀγοράζων ὄψον . . . . . ἐξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν, ῥαφανῖδας ἐπιθυμεῖ πρίασθαι, μαίνεται.

book 27.1 ἐρίοισι

book 27.2 τοὺς

book 27.3 τοίχους κύκλῳ Μιλησίοις, ἔπειτ’ ἀλείφειν τῷ Μεγαλλείῳ μύρῳ,

book 27.1 [spk_β]καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα. Β. ἀκήκοας σύ, δέσποτ’, ἤδη πώποτε[ln_5]τὸ θυμίαμα

book 27.2 τοῦτο;

book 28.1 εἰς τὴν ἑσπέραν

book 28.2 χορτάζομεν ἅπασιν ἀγαθοῖς.

book 29 δεῖπνον γὰρ ἀτελὲς οὐ ποιεῖ παροινίαν.

book 30.1 πρὸς

book 30.2 τοὺς

book 30.3 στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις μοίραις

book 30.4 προσελθόντ’ ἀξιωθῆναι λόγου, λαβεῖν τ’ ἀπόκρισιν ὧν ἂν ἐπερωτᾷ τις, ἢ πρὸς

book 30.5 τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ·[ln_5]οὓς ἂν ἐρωτήσῃ τις ἀναλαβών

book 30.6 τι τῶν

book 30.7 παρακειμένων, ἔκυψεν ὥσπερ Τήλεφος

book 30.8 πρῶτον

book 30.9 σιωπῇ (καὶ δικαίως

book 30.10 τοῦτό γε· ἅπαντες ἀνδροφόνοι γάρ εἰσιν ἑνὶ λόγῳ) ὡσεί τε

book 30.11 προσέχων οὐδὲν οὐδ’ ἀκηκοὼς[ln_10]ἔκρουσε

book 30.12 πουλύπουν

book 30.13 τιν’ ὁ δ’ ἐπρήσθη καὶ τοτ’ οὐ λαλῶν ὅλα τὰ ῥήματ’, ἀλλὰ συλλαβὴν ἀφελών, ‘ττάρων βολῶν γένοιτ’ ἄν·‘ ‘ἡ δὲ κέστρα;‘ ‘κτὼ βολῶν·‘ τοιαῦτ’ ἀκοῦσαι δεῖ τὸν ὀψωνοῦντά τι.

book 31 παραδεδειπνημένος, παῖδες, πάλαι

book 32 διενεχθῆναι

book 33.1 κατὰ πόλλ’ ἐπαινῶ μᾶλλον ἡμῶν τὸν βίον τὸν τῶν

book 33.2 φιλοποτῶν ἤπερ ὑμῶν τῶν μόνον ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων. ἡ μὲν γὰρ ἐπὶ τοῦ συντετάχθαι διὰ τέλους[ln_5]φρόνησις οὖσα, διὰ τὸ λεπτῶς καὶ πυκνῶς πάντ’ ἐξετάζειν δέδιεν ἐπὶ τὰ πράγματα ὁρμᾶν

book 33.3 προχείρως, ἡ δὲ διὰ τὸ μὴ σαφῶς τί ποτ’ ἀφ’ ἑκάστου

book 33.4 πράγματος

book 33.5 συμβήσεται διαλελογίσθαι δρᾷ τι καὶ νεανικὸν[ln_10]καὶ θερμόν.

book 34.1 Ἄπολλον, ὡς δυσάρεστόν ἐστ’ ἀνιώμενος ἄνθρωπος ἐφ’ ἅπασίν

book 34.2 τε δυσχερῶς ἔχει.

book 35.1 ἔχειν καθαρείως ἐγχελύδιόν

book 35.2 τι καὶ γλαυκινιδίου κεφάλαια καὶ λαβρακίου

book 35.3 τεμάχια.

book 36.1 [spk_β]ποδαπὸς σύ; φράσον. Β. Ἀκάνθιος. Α. εἶτα

book 36.2 πρὸς θεῶν οἴνου

book 36.3 πολίτης ὢν κρατίστου

book 36.4 στρυφνὸς εἶ, καὶ τοὔνομ’ αὐτὸ τῆς

book 36.5 πατρίδος ἐν

book 36.6 τοῖς

book 36.7 τρόποις ἔχεις, τὰ δ’ ἤθη τῶν

book 36.8 πολιτῶν οὐκ ἔχεις;

book 37.1 οὐκ ἔστιν, ὡς ἔοικε, φάρμακον μέθης οὐδὲν

book 37.2 τοιοῦτον ὡς τὸ προσπεσεῖν ἄφνω λύπην

book 37.3 τιν’. οὕτως ἐξελαύνει γὰρ

book 37.4 σφόδρα λῆρον ὥστε τὰς ῥαφάνους οὕτω δοκεῖν.

book 38.1 ὁ συκάμινος

book 38.2 συκάμιν’, ὁρᾷς, φέρει, ὁ πρῖνος ἀκύλους, ὁ κόμαρος μιμαίκυλα, κράνεια μέσπιλα.

book 39.1 ἀσυμβόλου δείπνου γὰρ ὅστις ὑστερεῖ, τοῦτον

book 39.2 ταχέως νόμιζε κἂν τάξιν λιπεῖν.

book 40.1 ἐν Θουρίοις

book 40.2 τοὔλαιον, ἐν Γέλᾳ φακοί, Ἰκάριος οἶνος, ἰσχάδες Κιμώλιαι.

book 41 ἐνῆν ἄρ’, ὡς ἔοικε, κἀν οἴνῳ λόγος, ἔνιοι δ’ ὕδωρ πίνοντές εἰς’ ἀβέλτεροι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 42.1 ὅστις γὰρ ὀμνύοντι μηδὲν
book 42.2 πείθεται, αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.
book 43 πίνους’ ἑκάστης ἡμέρας δι’ ἡμέρας.
book 44.1 οὐκ ἔστι κρεῖττον
book 44.2 τοῦ σιωπᾶν οὐδὲ ἕν.
book 45.1 ὅπου
book 45.2 τις ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχει.
book 46.1 οὐχ ὑποστρώσεις
book 46.2 ποτὲ τρίκλινον;
book 49 διαπαρθένια δῶρα
book 50 παρακόμους
book 51 πυξίον

Eulogikon public reading copy · View original HTML at eulogikon.org